νοφθόγγως. γελῶος.

§. σξϛʹ. Ἔτι εἰ μὲν τὸ ι ἀρτικὸν, τὸ δὲ ἀμέσως μετ' αὐτὸ ω, μεγαλογραφεῖται. πλὴν τοῦ Ἰόνιον, καὶ τῶν ἐκ τοῦ ἰὸς, καὶ ἰὸν συνθέτων. οἷον, ἰόλεως, ἰοχέαιρα, ἰοβόλη.

§. σξζʹ. Ἔτι τὰ ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, τῷ ω παραλήγει. οἷον, ἀγωγὴ, ἐδωδὴ, ἀκωκή.

§. σξηʹ. Ἔτι τὰ κατὰ πρόσληψιν συλλαβῆς ἀπὸ ῥημάτων γινόμενα, μεγαλογραφεῖται. ζῶ, ζωή. φῶ φωνή. ἄδω, ἄδωνις. Πλὴν τοῦ ἥδω, ἡδονή.

§. σξθʹ. Ἔτι τὰ ἐκ τοῦ ὀβολὸς σύνθετα. τριώβολον.

§. σοʹ. Ἔτι τὰ ἐκ τοῦ ὁμαλός. ἀνωμαλία.

§. σοαʹ. Ἔτι τὰ ἐκ τοῦ ὀδύνη. ἐπώδυνον, ἀνώδυνον.

§. σοβʹ. Ἔτι τὰ ἐκ τοῦ ὀφθαλμός. ἐπώφθαλμον.

§. σογʹ. Ἔτι τὰ ἐκ τοῦ ὄφελος. ὠφελῶ, ἀνωφελής.

§. σοδʹ. Ἔτι τὰ ἐκ τοῦ ὄνομα, ἀνώνυμον, ὁμώνυμον.

§. σοεʹ. Ἔτι τὰ ἐκ τοῦ ὄνυξ. πολυώνυξ, ἐξώνυξ.

§. σοϛʹ. Ἔτι τὰ ἐκ τοῦ χρέος, χρεωφειλέτης, χρεώστης. Πλὴν τοῦ χρεοκόπος, καὶ χρεολύτης.

§. σοζʹ. Ἔτι τὰ ἐκ τοῦ στοὰ σύνθετα, καὶ ἄλλως παράγωγα, ἐξώστοον, πρώστοον, στωϊκόν.

§. σοηʹ. Ἔτι τὰ ἀπὸ τοῦ στόμα, ἁπλᾶ παράγωγα, στωμύλος.

§. σοθʹ. Ἔτι τὰ ἐκ τοῦ ὀλῶ. ἐξώλης, προώλης, ἀπώλεια.

§. σπʹ. Ἔτι τὰ ἐκ τοῦ ὀμῶ. ἐπώμοτον, ὁρκώμοτον.